# ΕΤΑΙΡΕΙΑ ΕΛΛΗΝΩΝ ΦΙΛΟΛΟΓΩΝ
# Ο «ΠΛΑΤΩΝ»

# ΣΥΝΔΕΣΜΟΣ ΕΛΛΗΝΩΝ ΦΙΛΟΛΟΓΩΝ ΚΥΠΡΟΥ
# Ο «ΣΤΑΣΙΝΟΣ»

## ΤΥΧῌ ΑΓΑΘῌ

Ἔδοξεν ὁμοφώνως τοῖς φιλολόγοις ἀνδράσι τε καὶ γυναιξὶ τοὺς συλλόγους αὐτῶν, τοῦ Πλάτωνος καὶ τοῦ Στασίνου φερωνύμους ἀδύτῳ φέγγει τοὺς παιδευομένους ἔκπαλαι καταυγαζόντων, ἀδελφοποιεῖσθαι καὶ διδύμαις χερσὶν ἀλλήλους ἀσπάζεσθαι ἅτε ὁμαίμους καὶ ὁμογλώσσους ὄντας, πατρῷα ἔδη καὶ θήκας κοινὰς προγόνων σέβοντας, ἐπὶ κοιναῖς τιμίων αἱμάτων ῥοαῖς σεμνυνομένους, ἔπεσι καὶ λόγοις καὶ δράμασι καὶ φιλοσοφίᾳ τραφέντας καὶ παιδευθέντας, ἐπὶ τῷ στοιχῆσαι ἀλλήλοις ὡς παραστάταις καὶ τὰ τῶν Ἑλλήνων συγγράμματα φιλερεύνως συμμελετᾶν, τὸν δὲ νοῦν αὐτῶν καὶ τὸ κάλλος καὶ τὴν δύναμιν συγγραφῇ τε καὶ διδαχῇ ὡς σαφέστατα δηλοῦν καὶ ὡς φανότατα ἐμφανίζειν, ἐπὶ δὲ πᾶσι παῖδας Ἑλλήνων, «τοὶ διχθὰ δεδαίαται», διδάσκειν παιδείας Ἑλληνικῆς δράξασθαι καὶ ταύτης διὰ βίου ἀντέχεσθαι τὸ φιλόπατρι καὶ φιλελεύθερον καὶ φιλόκαλον ἀποματτομένους, τὰ τῆς Πίστεως καὶ τοῦ Γένους καυχήματα τιμῶντας, τὴν ἀλήθειαν οὐκ ἀταλαιπώρως ζητοῦντας, ἐν κεφαλαίῳ δ᾽ εἰπεῖν, τοῦ ἀνθρωπισμοῦ ἐμψύχου εἰκόνας πᾶσιν ἀνθρώποις ἑαυτοὺς ἀποφαίνοντας.

Ἐγένετο τετάρτῃ μηνὸς Ἀπριλίου ἔτους πρώτου καὶ δισχιλιοστοῦ.

Η ΠΡΟΕΔΡΟΣ
ΤΗΣ ΕΤΑΙΡΕΙΑΣ ΕΛΛΗΝΩΝ ΦΙΛΟΛΟΓΩΝ

ΓΕΩΡΓΙΑ ΞΑΝΘΑΚΗ-ΚΑΡΑΜΑΝΟΥ
Καθηγήτρια τῆς Ἀρχαίας Ἑλληνικῆς Φιλολογίας

Ο ΠΡΟΕΔΡΟΣ
ΤΟΥ ΣΥΝΔΕΣΜΟΥ ΕΛΛΗΝΩΝ ΦΙΛΟΛΟΓΩΝ ΚΥΠΡΟΥ

Κ. ΓΙΑΛΟΥΚΑΣ